1. Κατὰ τοῦτον μάλιστα τὸν καιρὸν (874—879) εἰρήνης καὶ ἡσυχίας ἀπολαύσας ὁ Μεθόδιος συνετέλεσε τὸ ἔργον τῶν σλαυϊκῶν μεταφράσεων. Βλ. ἐν τοῖς ἔμπροσθεν σελ. 57.

2. Predicare vero, aut sermonem in populo facere, tibi licet, quum psalmista omnes commonet Deum gentes laudare, et apostolus omnis inquit lingua confeatur quia Jesus in gloria est Dei patris—ne in ea lingua sclavina sacra missarum solempnia celebrares, sed vel in latina vel graeca lingua, sicut ecclesia Dei toto terrarum orbe diffusa et in omnibus ? gentibus dilatata cum-

Τὴν χρῆσιν λοιπὸν τῆς σλαυϊκῆς γλώσσης ἐν ταῖς ἱεροτελεστίαις διαρρήδην ἀπηγόρευσε τῷ Μεθοδίῳ ὁ προκάτοχος Λέοντος τοῦ Γ' Ἰωάννης ὁ Η' καὶ κατὰ τὸ 873 καὶ κατὰ τὸ 879. Ἐὰν δὲ ἀποβλέψωμεν καὶ εἰς τοὺς λόγους, οὓς ὑπὲρ τῆς ἀπαγορεύσεως ταύτης προὐβάλλετο, βλέπομεν ὅτι ἡ θεωρία αὐτοῦ οὐδόλως σχεδὸν διέφερε τῆς θεωρίας, ἧς χρῆσιν ἐποιήσαντο κατ' ἀρχὰς πρὸς τοὺς ἀδελφοὺς Κύριλλον καὶ Μεθόδιον οἱ περὶ τὸν πάπαν Ῥώμης Ἀδριανὸν τὸν Β' καὶ αὐτοὶ οἱ φράγκοι ἐπίσκοποι τῆς Βαυαρίας, οἵτινες διεκήρυττον ὡς γλώσσας ἱερὰς καὶ ἁγίας τῇ ἐκκλησίᾳ μόνον τὴν ἑβραϊκήν, τὴν ἑλληνικὴν καὶ τὴν λατινικήν. Τί δὲ παθὼν ὁ μακαριώτατος πάπας Ἰωάννης ὁ Η' οὕτω κατὰ τῆς χρήσεως τῆς σλαυϊκῆς γλώσσης ἐν ταῖς ἱερουργίαις ἀπεφαίνετο ἐπιστέλλων τῷ ἀγαπητῷ αὐτοῦ Μεθοδίῳ;

Ὁ Ἰωάννης ἦν ἀρχιδιάκονος Ἀδριανοῦ τοῦ Β'. Τίς ἦν ὡς τὰ πολλὰ ἡ θέσις τῶν ἀξιωματικῶν τούτων κληρικῶν, πόσον ἔντιμος καὶ ὑψηλὴ καὶ ἐμπιστευτική, καὶ μάλιστα παρὰ τοῖς πατριάρχαις, γνωστὸν ὑπάρχει ἐκ τῆς ἱστορίας. Ὅτι δὲ τῷ ὄντι ὁ ἀρχιδιάκονος οὗτος οὐκ ἦν πρόσωπον εὐκαταφρόνητον ἐν τῇ τότε ῥωμαϊκῇ ἐκκλησίᾳ, μαρτυρεῖ ἴσως σὺν τοῖς ἄλλοις καὶ τοῦτο, ὅτι καὶ ἄμεσος διάδοχος τοῦ πατριάρχου αὐτοῦ ἐγένετο. Τίς οὖν δύναται πιστεῦσαι ὅτι ὁ Ἰωάννης ἠγνόει τὰ κατὰ τοὺς ἀδελφοὺς Κύριλλον καὶ Μεθόδιον, ὧν ἡ παρουσία ἐν Ῥώμῃ τοσοῦτον πρὸ μικροῦ συνεκίνησεν ὁλόκληρον τὴν πόλιν ἐκείνην ἀπὸ τοῦ πρωθιεράρχου μέχρι καὶ τοῦ τελευταίου αὐτῆς χριστιανοῦ; Ἦσαν ἆρά γε αὐτῷ ἄγνωστα τὰ πρακτικὰ τῆς ῥωμαϊκῆς ἐκείνης συνόδου, ἐν ᾗ παραστάντες ἀμφότεροι οἱ ἀδελφοὶ τῷ 868 ἀπελογήθησαν ἐνώπιον Ἀδριανοῦ τοῦ Β' ὑπὲρ τῆς ὑπ' αὐτῶν κατὰ πρῶτον γενομένης χρήσεως τῆς σλαυϊκῆς γλώσσης ἐν τῇ χριστιανικῇ ἐκκλησίᾳ; Οὐκ ἦν καὶ ὁ Ἰωάννης ἐκ τῶν πρώτων ὁρώντων προσώπων τῆς συνόδου ἐκείνης; Καὶ ὅμως ἤδη ἐν ἔτει 873 διαρρήδην οὗτος ἀπηγόρευσε τῷ Μεθοδίῳ ἐν τοῖς πρὸς αὐτὸν γράμμασιν αὐτοῦ τὴν χρῆσιν τῆς γλώσσης ταύτης· τοῦτ' αὐτὸ δ' ἐπανέλαβε καὶ τῷ 879 προσκαλούμενος αὐτὸν ἐν Ῥώμῃ πρὸς ἀπολογίαν. Τί λοιπὸν παθὼν Ἰωάννης ὁ Η' οὕτω κατὰ τῆς χρήσεως τῆς σλαυϊκῆς γλώσσης ἐν ταῖς ἱερουργίαις ἀπεφαίνετο ἐπιστέλλων τῷ ἀγαπητῷ αὐτοῦ Μεθοδίῳ; Τοῦτο ἔπραξεν ὁ Ἰωάννης, εἴποι τις ἄν, ὡς διαφωνῶν τῇ πράξει τῆς τότε ῥωμαϊκῆς συνόδου ἀποδεξαμένης ἐπὶ τέλους τὸ πρᾶγμα, ἢ ὅπως ἐξευμενίσῃ καὶ ἐπιστομίσῃ τοὺς ἀμειλίκτους ἐχθροὺς τοῦ Μεθοδίου, προβαλλομένους σὺν τοῖς ἄλλοις πάντοτε καὶ τὴν χρῆσιν τῆς γλώσσης ταύτης, ἀσυγγνώστου κατ' αὐτοὺς τῇ ἐκκλησίᾳ. Οὐδέτερον τούτων ἀληθεύει· τὸ τελευταῖον ἥκιστα φαίνεται πιθανόν, ἐὰν λάβωμεν πρὸ ὀφθαλμῶν τὴν στάσιν, ἣν ἔλαβεν ὁ Ἰωάννης τῷ 873 ἀπέναντι τῶν φράγκων ἐπισκόπων· τὸ δὲ πρῶτον παντάπασιν ἀπίστευτόν ἐστι· διότι τὸ πνεῦμα τῆς ῥωμαϊκῆς ἐκείνης συνόδου τῆς ἐπιτρεψάσης τὴν χρῆσιν τῆς σλαυϊκῆς γλώσσης καὶ τῆς ἄλλης ἐκκλησιαστικῆς τάξεως ἐν ταῖς ἐπαρχίαις ἐκείναις ἀδύνατον νὰ ὑποτεθῇ ἄγνωστον τῷ Ἰωάννῃ· ὥστε εὐλόγως δυνάμεθα εἰπεῖν ὅτι εἰς τὴν ἀπαγόρευσιν προέβη οὗτος οὐχ ὡς διαφωνῶν τῷ προκατόχῳ αὐτοῦ, ἀλλὰ μᾶλλον ὡς λίαν καλῶς ἐπιστάμενος τὸ πνεῦμα αὐτοῦ, ὅπερ ἦν ἐκκλησιαστικὴ συμμόρφωσις καὶ τελεία ἀφομοίωσις καὶ τῶν νεοφωτίστων ἐκείνων ἐπαρχιῶν, τῆς Μοραβίας δηλονότι καὶ Παννονίας, πρὸς τὴν τάξιν τῆς ῥωμαϊκῆς ἐκκλησίας ἐν καιρῷ εὐθέτῳ. Εὔθετον δὲ πρὸς τοῦτο καιρὸν ὑπέλαβεν ὁ Ἰωάννης πρῶτον μὲν τὸ γνωστὸν ἡμῖν ἤδη ἐπεισόδιον ἐν τῷ ἀρχιεπισκοπικῷ σταδίῳ τοῦ ἱεροῦ ἀνδρός, ὕστερον δὲ τὴν κατηγορίαν, ἐν ᾗ μέρος εἶχε κατὰ τοῦ ἱεροῦ Μεθοδίου καὶ ὁ ἡγεμὼν Σουατοπόλκος· ἀλλ' ὅμως ἠπατήθη καὶ ἀπέτυχεν ἐν ἀμφοτέροις· εἰς τὴν ἀξίωσιν ταύτην τοῦ Ἰωάννου ὁ ἀτρόμητος ἱεράρχης ἀντέστη γενναίως καὶ τὸ ἐπ' αὐτῷ διέσωσεν ἔτι ἅπαξ τὴν ἐξ ἀρχῆς ἐν ταῖς χώραις ἐκείναις εἰσαχθεῖσαν ἐκκλησιαστικὴν τάξιν. Τί εἶπε καὶ τί ἐλάλησε τῷ 873 πρὸς τὸν ἐπίσκοπον Ἀγκῶνος

---

tat. Epist. Ioan. P. VIII ad Methodium ἔνθ. ἀνωτ. σελ. 58. — Ἆρά γε προσποιεῖται ἄγνοιαν ὁ Ἰωάννης ἢ τῷ ὄντι ἀγνοεῖ ὅτι ἐν ταῖς ἀνὰ τὴν οἰκουμένην ἐκκλησίαις οὐκ ἦσαν δύο μόνον γλῶσσαι ἐν χρήσει;

Παῦλον τὸν ἐπιδόντα αὐτῷ τὰ πρῶτα περὶ τῆς ὑποθέσεως ταύτης γράμματα, ἄγνωστον· βέβαιον ὅμως ἐστὶ καὶ παρὰ πᾶσιν ὁμολογούμενον ὅτι ὁ Μεθόδιος οὐκ ἐπαύσατο χρώμενος ὡς καὶ πρότερον τῇ σλαυϊκῇ γλώσσῃ ἔν τε τῇ θείᾳ λειτουργίᾳ καὶ ἐν πᾶσι τοῖς ἄλλοις. Μετὰ δὲ τὴν προσωπικὴν ἐμφάνισιν αὐτοῦ ἐν Ῥώμῃ (τῷ 880) καὶ τὴν ἐξέτασιν καὶ ἀπολογίαν εἰς ἀμφότερα τὰ μέρη τῆς ἐναντίον αὐτοῦ φερομένης κατηγορίας ὁ πρωθιεράρχης τῆς ῥωμαϊκῆς ἐκκλησίας ἐπείσθη οὐ μόνον περὶ τῆς τελείας ἐν πᾶσιν ὀρθοδοξίας τοῦ Μεθοδίου, ἀλλὰ καὶ περὶ τῆς ἀνάγκης ἵνα μηδὲν τῶν τῆς ἐκκλησιαστικῆς τάξεως τῶν ἐπαρχιῶν ἐκείνων μετακινηθῇ, ἥκιστα δὲ ἡ γλῶσσα τῶν ἱερῶν ἀκολουθιῶν. Γράφων ἐν ἔτει 879 πρὸς τὸν Μεθόδιον ὁ Ἰωάννης ὑπεδείκνυεν αὐτῷ, ὡς ἀνωτέρω εἴδομεν, ὅτι ἠδύνατο, ἂν ἤθελε, νὰ ἐπιτελῇ τὰς ἱερὰς ἀκολουθίας εἰς τὴν ἑλληνικὴν γλῶσσαν· «vel in latina, vel græca lingua». Εἶναι ἀληθὲς ὅτι οὕτως ἤρετο ἐκ μέσου μόνον ἡ γλῶσσα, οὐχὶ δὲ καὶ ἡ ἀνατολικὴ ἐκκλησιαστικὴ διατύπωσις ἡ ἐξ ἀρχῆς αὐτόθι ὑπὸ τῶν δύο ἀδελφῶν εἰσαχθεῖσα· ἀλλ' ἕκαστος πάλιν εὐκόλως ἐννοεῖ ὅτι τοῦτο δὲν ἦτον ἄλλο ἢ δέλεαρ, ἵνα ἅπαξ ἐγκαταλειφθῇ ἡ γλῶσσα τοῦ λαοῦ· ὅτι δὲ ταύτης αἰρομένης ἀπὸ τοῦ μέσου, θὰ ἤρετο ἅμα καὶ ὁ ἰσχυρότατος λόγος κατὰ τῆς εἰσαγωγῆς τῆς λατινικῆς γλώσσης, ἑπομένως καὶ τῆς λατινικῆς ἐκκλησιαστικῆς τάξεως, περὶ τούτου οὐδ' ὁ σμικρότατος τὸν νοῦν, ἥκιστα δὲ ὁ ἱερὸς Μεθόδιος ὁ ἤδη ἱκανῶς ἐκμελετήσας καὶ καταμαθὼν τὸ πνεῦμα τῶν ῥωμαίων ἱεραρχῶν ἠδύνατο ἀμφιβάλλειν· εὐλόγως ἄρα οὗτος ἀντέστη εἰς πᾶσαν οἱανδήποτε τῶν ἐκκλησιαστικῶν αὐτοῦ πραγμάτων μεταρρύθμισιν. Τί δὲ εἶπε καὶ ἐλάλησε καὶ νῦν ἢ τί, ὡς ἐκφράζονται οἱ νεώτεροι, ἐψιθύρισεν εἰς τὸ οὖς Ἰωάννου τοῦ Η' ὁ σεβάσμιος ἱεράρχης, τυγχάνει ἐπίσης ἄγνωστον[1]· γνωστὸν καὶ βέ-

1. «Ὁ πάπας Ἰωάννης, λέγει ὁ Φόγελος, κατενόησεν ὅτι ἡ ἀρχιεπισκοπικὴ ἐκκλησία τοῦ Μεθοδίου ἔδει νὰ μείνῃ ἄθικτος καὶ ἀνέπαφος· διότι ἄλλως θὰ περιήρχετο εἰς χεῖρας τοῦ πατριάρχου Κωνσταντινουπόλεως. Ὁ αὐτὸς ἐπίσης ἐνόησεν ὅτι ἡ Ῥώμη, ἥτις μεγάλως ἠγωνίζετο τότε νὰ λάβῃ τὴν Βουλγαρίαν, θὰ ἔβλεπε τὰς

βαιόν ἐστι μόνον ὅτι ὁ Ἰωάννης ἐπείσθη ὅτι τὰ πράγματα ἔδει νὰ μείνωσιν ὅπως εἶχον, ὡς γίνεται φανερὸν ἐξ ὧν ἔγραφε τῷ 880 ὑπεραπολογούμενος τοῦ ἱεροῦ Μεθοδίου πρὸς τοὺς κατηγοροῦντας τοῦτον ἐπὶ τῇ χρήσει τῆς σλαυϊκῆς γλώσσης ἐν τῇ θείᾳ λατρείᾳ. «Τέλος (εἶναι λόγια τοῦ Ἰωάννου) δικαίως ἐπαινοῦμεν τὰ σλαυϊκὰ γράμματα, ἅπερ ποτὲ Κωνσταντῖνος ὁ φιλόσοφος ἐξεῦρεν ἵνα δι' αὐτῶν τὸ θεῖον ὑμνῆται κατὰ τὸ ὀφειλόμενον, καὶ διακελευόμεθα ὅπως ἐν αὐτῇ τῇ γλώσσῃ αἱ διδαχαὶ καὶ τὰ ἔργα Χριστοῦ τοῦ κυρίου ἡμῶν ἐξαγγέλλωνται· οὐδὲ γὰρ ἐν τρισὶ μόνον γλώσσαις, ἀλλ' ἐν πάσαις αἰνεῖν τὸν Κύριον παραγγέλλουσιν ἡμᾶς αἱ ἱεραὶ Γραφαὶ λέγουσαι· αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί· καὶ οἱ πνευματέμφοροι ἀπόστολοι ἐν πάσαις ταῖς γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ ἐκήρυξαν. Ὅθεν δὴ καὶ Παῦλος, ἡ οὐράνιος σάλπιγξ, φθέγγεται παραινῶν· πᾶσα γλῶσσα ἐξομολογησάσθω ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός· καὶ ἐν τῇ πρώτῃ δὲ πρὸς κορινθίους ἱκανῶς καὶ σαφῶς ὁ αὐτὸς περὶ τῶν γλωσσῶν διαλέγεται ὑποτυπούμενος πῶς ἡμεῖς γλώσσαις λαλοῦντες οἰκοδομεῖν ὀφείλομεν τὴν ἐκκλησίαν τοῦ Θεοῦ[1]. Οὐδόλως ἐναντιοῦται τῇ ὑγιαινούσῃ πίστει καὶ διδασκαλίᾳ τὸ ψάλλειν τὴν θείαν λειτουργίαν ἐν τῇ σλαυϊκῇ γλώσσῃ ὡς οὐδὲ

προσπαθείας αὐτῆς ματαιουμένας, ἂν ἐπεχείρει νὰ μεταβάλῃ τὸ ἐκκλησιαστικὸν καθεστὼς ἐν Μοραβίᾳ καὶ Παννονίᾳ· ἐξεναντίας δὲ ὅτι ἄριστα θὰ εἰργάζετο πρὸς τὸν σκοπὸν αὐτῆς σεβομένη τὸν ἑλληνοσλαυϊκὸν χαρακτῆρα τῶν ἐκκλησιῶν ἐκείνων καὶ τιμῶσα τὸν Μεθόδιον τὸν μέγα τιμώμενον ἐν Βουλγαρίᾳ. Τούτου ἕνεκα Ἰωάννης ὁ Η' ἀπεφάνθη παρὰ πᾶσαν προσδοκίαν ὑπὲρ τοῦ Μεθοδίου» (ἔνθ. ἀν.). Παρόμοια πιθανολογεῖ καὶ ὁ Γίνζελος· «ὁ Μεθόδιος, λέγει καὶ αὐτός, δὲν ἔλειψε βεβαίως νὰ ὑποδείξῃ εἰς τὸν πάπαν καὶ εἰς τοὺς περὶ αὐτὸν πόσον ἐπικίνδυνος ἦν ἡ ἐν τῇ ἀρχιεπισκοπῇ ἐκείνῃ ἀπαγόρευσις τῆς σλαυϊκῆς γλώσσης μετὰ τοσούτων ἐτῶν χρῆσιν. Τὸν κίνδυνον ὅτι αἱ σλαυϊκαὶ ἐκεῖναι χῶραι ἐν περιπτώσει τοιαύτῃ θὰ ἐρρίπτοντο εἰς τὰς ἀγκάλας τῶν ἑλλήνων ἀνεγνώρισεν ἡ Ῥώμη ὡς πράγματι ἀπειλούμενον, οὐχὶ ὡς μορμολύκειον ἁπλῶς ὑπὸ τοῦ Μεθοδίου ἐπισειόμενον· καθόσον μάλιστα προφανῶς ἤδη εἶχεν ἀρχίσει ἐνεργούμενος παρὰ τοῖς γείτοσι σλαύοις ὁ προσηλυτισμός (!!) διὰ τοῦ αὐτοκράτορος Βασιλείου τοῦ μακεδόνος (867—886)».

1. Ἀτυχῶς οὐδ' Ἰωάννης ὁ Η' φαίνεται ἄμεινον Ἀδριανοῦ τοῦ Β' ἐννοῶν τὸ λαλεῖν γλώσσαις τῆς α' πρὸς κορινθίους ἐπιστολῆς.

τὸ ἀναγινώσκειν ἐν αὐτῇ τὸ ἱερὸν εὐαγγέλιον, εἴτε περικοπὰς ἀπὸ τῆς παλαιᾶς καὶ καινῆς Διαθήκης καλῶς μεταπεφρασμένας καὶ διηρμηνευμένας, εἴτε καὶ πάσας τὰς ἱερὰς ἀκολουθίας τῆς ἐκκλησίας· ὁ γὰρ ποιήσας τὰς τρεῖς ἐγκρίτους γλώσσας, φημὶ δὴ τὴν ἑβραϊκήν, τὴν ἑλληνικὴν καὶ τὴν λατινικήν, αὐτὸς ἐποίησε καὶ τὰς ἄλλας πάσας πρὸς δόξαν καὶ ἔπαινον αὐτοῦ. Ἐντελλόμεθα μέντοι ἐν πάσαις ταῖς ἱεραῖς ἐκκλησίαις τῆς χώρας σου (τοῦ Σουατοπόλκου) πρὸς μείζονα τιμὴν τὸ εὐαγγέλιον λατινιστὶ πρῶτον ἀναγινώσκεσθαι καὶ εἶτα σλαυϊστὶ πρὸς κατάληψιν τοῦ λαοῦ τοῦ μὴ ἐννοοῦντος τὴν λατινικήν, ὡς καὶ ἐν ἄλλαις τισὶν ἐκκλησίαις εἴωθε γίνεσθαι. Εἰ δὲ σοί τε (τῷ Σουατοπόλκῳ) καὶ τοῖς περὶ σὲ ἄρχουσι λατινιστὶ μᾶλλον ἀκροᾶσθαι τῆς λειτουργίας ἀρέσκει, ἐπιτελείσθω σοι ἡ κατὰ λατίνους λειτουργία»[1].

---

1. Litteras denique sclaviniscas a Constantino quondam philosopho repertas, quibus Deo laudes debite resonent, jure laudamus: et in eadem lingua Christi domini nostri preconia et opera enarrentur jubemus. Neque enim tribus tantum sed omnibus linguis dominum laudare auctoritate sacra monemur, qui precipit dicens: Laudate dominum omnes gentes et collaudate eum omnes populi. Et apostoli repleti Spiritu sancto locuti sunt omnibus linguis magnalia Dei. Hinc et Paulus cœlestis quoque tuba insonat monens: Omnis lingua confiteatur, quia dominus noster Jesus Christus in gloria est Dei Patris. De quibus etiam linguis in prima ad Corinthios epistola satis et manifeste nos admonet, quatenus linguis loquentes ecclesiam Dei edificemus. Nec sanæ fidei vel doctrinæ aliquid obstat, sive missas in eadem sclavinica lingua canere, sive sacrum evangelium vel lectiones divinæ novi et veteris testamenti bene translatas et interpretatas legere aut alia horarum officia omnia psallere: quoniam qui fecit tres linguas principales, hebream scilicet, grecam et latinam, ipse creavit et alias omnes ad laudem et gloriam suam. jubemus tamen, uti in omnibus ecclesiis terræ vestræ propter majorem honorificentiam evangelium latine legatur et postmodum sclavinica lingua translatum in auribus populi, latina verba non intelligentis, adnuncietur, sicut in quibusdam ecclesiis fieri videtur. Et si tibi et judicibus tuis placet missas latina lingua majis audire, precipimus ut latine missarum tibi sollemnia celebrentur. Epist. Ioann. P. VIII. ad Swatopluk ἔνθ. ἀνωτ. τελ. 61.

Οὕτως οὖν ἡ Ῥώμη ἀπεφάνθη τὸ δεύτερον ἤδη ὑπὲρ τῆς χρήσεως τῆς σλαυϊκῆς γλώσσης ἐν τῇ θείᾳ λατρείᾳ, ἀποδοκιμάσασα διαρρήδην τὴν θεωρίαν τῶν ὀπαδῶν τῶν τριῶν γλωσσῶν —οὓς, καθάπερ τὰ χρονικὰ τῆς Παννονίας ἀναφέρουσι, καὶ πιλατικοὺς καὶ τριγλώσσους ἀπεκάλεσεν[1]—ἀφοῦ ἓν καὶ τὸ αὐτὸ πρᾶγμα ὁ μὲν Ἀδριανὸς ex cathedra συνεχώρησεν ὡς συγχωρούμενον ὑπὸ τῶν ἱερῶν Γραφῶν· ὁ δὲ Ἰωάννης ex cathedra ἀπηγόρευσεν ὡς ἀσυγχώρητον· καὶ πάλιν ἀφοῦ ὁ αὐτὸς Ἰωάννης τῷ μὲν 873 καὶ 879 ex cathedra ἀπηγόρευσεν αὐτὸ ὡς μὴ συγχωρούμενον ὑπὸ τῶν ἁγίων Γραφῶν καὶ ὡς ξένον ὅλως ἐν τῇ πράξει τῆς καθόλου ἐκκλησίας, τῷ δὲ 880 ex cathedra ὁ αὐτὸς καὶ ὑπεραπελογεῖτο τούτου καὶ συνίστα ἐκθύμως ὡς οὐδαμῶς ἀπᾷδον τῇ πίστει ἢ τῇ διδασκαλίᾳ τῆς ἐκκλησίας, ἀλλὰ τοὐναντίον καὶ ῥητῶς ὑπὸ τῶν θείων Γραφῶν ὑπαγορευόμενον! Τὴν ἀντίφασιν καὶ παλινῳδίαν ταύτην ὑπὸ σοβαρώτερον μάλιστα τύπον ὀψόμεθα καὶ ἐφεξῆς ἐν τοῖς διαδόχοις τοῦ Ἰωάννου καὶ μετὰ τὰς ὡραίας τούτου ex cathedra διατάξεις περὶ τῆς χρήσεως τῆς σλαυϊκῆς γλώσσης ἔν τε τῇ διδασκαλίᾳ καὶ ἐν τῇ θείᾳ λατρείᾳ καθόλου· νῦν δὲ τὴν ἀφήγησιν ἡμῶν συνεχίζοντες, μίαν ἔτι ποιούμεθα ἐπιστασίαν ἐπὶ τῶν ἀνωτέρω παρατεθέντων αὐτοῦ λόγων, ἐπὶ τοῦ μέρους ἰδίως ἐκείνου, ἔνθα τὴν ἀνάγνωσιν τοῦ εὐαγγελίου λατινιστὶ γίνεσθαι κατὰ πρῶτον ἐντέλλεται οὗτος ἐν ταῖς ἱεραῖς ἐκκλησίαις τοῦ Μεθοδίου.

Οὐδεὶς πάντως δύναται καταμέμψασθαι Ἰωάννην τὸν ΙΙ' ἐρ'οἷς τελευτῶν γράφει πρὸς τὸν βασιλέα τῆς Μοραβίας Σουατοπόλκον ἐπιτρέπων αὐτῷ τε καὶ τοῖς περὶ αὐτὸν ἄρχουσι τὴν χρῆσιν τῆς λατινικῆς λειτουργίας. Ὁ Σουατοπόλκος καί τοι ὡς βασιλεὺς τῆς Μοραβίας ὤφειλεν ἀκροᾶζεσθαι τῆς θείας λειτουργίας, ἐν ᾗ γλώσσῃ ἠγάπα καὶ ἤθελε λατρεύειν τῷ Θεῷ καὶ ὁ λαὸς αὐτοῦ· ἀλλ'ἐπειδὴ καθάπερ καὶ ἐν τοῖς ἔμπροσθεν ἐρρέθη, ἱκανῶς εἶχε προσε-

---

1. quos papa pilaticos adsecias et trilingues nominans dammavit. Legent. pann. c. 6.

ταιρισθῆ τότε ὑπὸ τῶν ἀντιπάλων τοῦ Μεθοδίου φράγκων, προήχθη, ὡς φαίνεται, διαμηνῦσαι τῷ Ἰωάννῃ εἴτε διὰ γράμματος, εἴτε προφορικῶς διὰ τῶν ἀπεσταλμένων αὐτοῦ, ὅτι αὐτός τε καὶ οἱ περὶ αὐτὸν ἄρχοντες ἀπέκλινον εἰς τὴν λατινικὴν λειτουργίαν, καὶ διὰ τοῦτο εὐλόγως οὗτος ἠδύνατο γράφειν ὅτι «ἐὰν αὐτῷ τε καὶ τοῖς περὶ αὐτὸν ἄρχουσιν ἀρέσκῃ τὸ ἀκροάζεσθαι τῆς θείας λειτουργίας λατινιστί, ἐπιτρέπεται τὸ ἐπιτελεῖσθαι χάριν αὐτῶν ἡ κατὰ λατίνους λειτουργία». Ἡ ἑτέρα ὅμως διάταξις Ἰωάννου τοῦ Η΄ ὅπως ἐν πάσαις ταῖς κατὰ τὴν Μοραβίαν ἐκκλησίαις τὸ ἱερὸν εὐαγγέλιον πρὸς μεγαλειτέραν τιμὴν ἀναγινώσκηται πρῶτον λατινιστί, καὶ ἔπειτα σλαυϊστί, ἦν ὅλως ἀπροσδόκητος. Ὁ Ἰωάννης διακηρύξας ἐπισήμως ὅτι οὐδόλως ἀντιστρατεύεται τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἡ ἐν τῇ θείᾳ λατρείᾳ χρῆσις τῶν γλωσσῶν τῶν εἰς Χριστὸν πεπιστευκότων λαῶν, εἶπε μίαν ἀλήθειαν ἑδραζομένην ἐπί τε τοῦ λόγου τοῦ Θεοῦ καὶ ἐπὶ τῆς ἀνέκαθεν πράξεως τῆς χριστιανικῆς ἐκκλησίας, ἀλήθειαν, ἣν καὶ ἀφ' ἑαυτοῦ ἕκαστος ὀρθῶς σκεπτόμενος ἐπιγινώσκει καὶ ἀποδέχεται· ἀλλ' ὁ ὅρος, ὃν εὐθὺς ἐπισυνάπτει περὶ τῆς ἐν ταῖς σλαυϊκαῖς ἐκκλησίαις ἀναγνώσεως τοῦ ἱεροῦ εὐαγγελίου πρῶτον λατινιστὶ καὶ ἔπειτα σλαυϊστί, οὐ μόνον ἀσυμβίβαστος πρὸς τὴν καθολικὴν ταύτην ἀλήθειαν παρίσταται, ἀλλὰ καὶ σκανδαλώδης πώς ἐστι καὶ δικαίας παρέχει ὑπονοίας περὶ ὑστεροβουλίας ἀνειλικρινοῦς. «Πρὸς μείζονα, λέγει, τιμὴν τῆς λατινικῆς γλώσσης! ἰδοὺ ὁ λόγος τῆς τοιαύτης διατάξεως Ἰωάννου τοῦ Η΄. Ἂν οὗτος ἔλεγεν ὅτι πρὸς τιμὴν τῆς γλώσσης, ἐν ᾗ ἀρχικῶς ἐγράφησαν τὰ ἱερὰ βιβλία τῆς καινῆς Διαθήκης, ἔδει ἀναγινώσκεσθαι τὸ ἱερὸν εὐαγγέλιον ἐν ταῖς ἐκκλησίαις πρῶτον ἑλληνιστὶ καὶ εἶτα σλαυϊστί, ἴσως ἡ διάταξις αὐτοῦ εἶχέ τι τὸ εὔλογον· ἀλλ' ἐν πρώτοις λατινιστὶ ἀναγινώσκεσθαι τὸ εὐαγγέλιον ἐν ταῖς σλαυϊκαῖς ἐκκλησίαις τοῦ Μεθοδίου πρὸς τιμὴν τῆς λατινικῆς γλώσσης, τοῦτο ἦν ὅλως ἀκατάληπτον μετὰ τὴν ὁμολογίαν ὅτι ἔξεστιν ἑκάστῳ ἔθνει λατρεύειν τῷ Θεῷ ἐν τῇ ἰδίᾳ διαλέκτῳ· οὐδ' ἑρμηνεύεται ἴσως ἱκανῶς, ἐὰν μὴ λάβωμεν πρὸ ὀφθαλμῶν ἡμῶν ὅτι

ὅσα ἔλεγε καὶ ἔγραφεν ἡ Ῥώμη ὑπὲρ τῆς σλαυϊκῆς γλώσσης, ἄκουσα καὶ μὴ βουλομένη καὶ ὑπὸ τῶν περιστάσεων αὐτῶν καταναγκαζομένη ἔλεγε καὶ ἔγραφεν· ὅτι καὶ ἡ Ῥώμη ἐβούλετο καὶ ἐπεθύμει τὴν ἐξοστράκισιν αὐτῆς ἐκεῖθεν, ἀλλ' αἱ περιστάσεις δὲν ἦσαν εὐνοϊκαὶ πρὸς τοῦτο· ὅτι ἑπομένως σκοπὸς τῆς ἀνωτέρω διατάξεως Ἰωάννου τοῦ Η΄ ἦν ἡ προανάκρουσις καὶ κατ' ὀλίγον εἰσαγωγὴ τῆς τάξεως τῆς λατινικῆς ἐκκλησίας ἐν ταῖς ἐπαρχίαις ἐκείναις καὶ ἡ ἐκεῖθεν παντελὴς ἐξοστράκισις τῆς σλαυοελληνικῆς τάξεως, ἅπερ οὐδ' αὐτοὺς τοὺς ἀντιπάλους τοῦ ἱεροῦ Μεθοδίου διέλαθον παντάπασιν, ὡς εὐλόγως ἂν εἴποι τις ἐκ τῶν εὐθὺς κατόπιν ἐπισυμβάντων τὰ πράγματα τεκμαιρόμενος καὶ ἰδίως ἐκ τῆς τύχης τῆς πολυκρότου ἐπιστολῆς Ἰωάννου τοῦ Η΄, ἐν ᾗ καὶ ἡ ὀρθοδοξία τοῦ ἀρχιεπισκόπου Μοραβίας καὶ Παννονίας λαμπρῶς ἀνεκηρύττετο καὶ ἡ χρῆσις τῆς σλαυϊκῆς γλώσσης ἐν τῇ θείᾳ λατρείᾳ κατεκυροῦτο.

Μετὰ τοῦ Μεθοδίου συναπέστειλε τῷ 880 εἰς Ῥώμην ὁ Σουατοπόλκος καὶ ἕνα ἐκ τῶν πιστῶν αὐτοῦ ἀρχόντων Σεμίζιον καλούμενον καὶ ἕτερον Βίχιγγον λεγόμενον· ὁ πρῶτος ἐξ αὐτῶν ἐντολὴν εἶχεν ἐκφράσαι τῷ πάπᾳ τὰ βαθύτατα σεβάσματα τοῦ κυρίου αὐτοῦ, τὰς ἰσχυρὰς ὑπονοίας καὶ ἐνδείξεις, ἃς εἶχε δῆθεν οὗτος κατὰ τῆς ὀρθοδοξίας τοῦ Μεθοδίου, καὶ τέλος τὴν κλίσιν αὐτοῦ τε καὶ τῶν περὶ αὐτὸν ἀρχόντων πρὸς εἰσαγωγὴν τῆς λατινικῆς γλώσσης καὶ τάξεως ἐν ταῖς ἐκκλησίαις τῆς χώρας αὐτοῦ. Ὁ δεύτερος ἦν ὄργανον τῶν φράγκων ἐπισκόπων, ὅλως ἀφωσιωμένος εἰς αὐτοὺς καὶ κατὰ σύστασιν πάντως αὐτῶν ἀποσταλεὶς παρὰ τοῦ Σουατοπόλκου εἰς Ῥώμην ὅπως χειροτονηθῇ βοηθὸς ἐπίσκοπος τῆς ἀρχιεπισκοπῆς. Ἡ χειροτονία τούτου ἐγένετο ἐν Ῥώμῃ κατὰ τὴν ἐπιθυμίαν τοῦ Σουατοπόλκου, συνευδοκοῦντος καὶ τοῦ Μεθοδίου ὡς παντάπασιν ἀγνοοῦντος τὰ κατὰ τὸν ἄνθρωπον. Ἀφοῦ δὲ ὁ Μεθόδιος ἐκηρύχθη, ὅλως ἀθῶος καὶ ἐν πᾶσιν ὀρθοδοξῶν καὶ τὰ περὶ τῆς σλαυϊκῆς γλώσσης ὡρίσθησαν ὡς ὡρίσθησαν, ἐξεδόθη περὶ τούτων πάντων ἡ πρὸς τὸν Σουατοπόλκον γνωστὴ ἤδη ἡμῖν ἐπιστολὴ Ἰωάννου τοῦ Η΄· ἡ ἐπιστολὴ δὲ αὕτη, ἧς τὸ περιεχόμε-

νον οὐδαμῶς ἦν ἄγνωστον τῷ ἱεράρχῃ ὑπὲρ οὗ ἐγράφη, ἐνεχειρίσθη πρὸς ἀποφυγὴν πάσης ὑπονοίας τῷ Σεμιζίῳ, ὅπως κομίσῃ τῷ ἡγεμόνι αὐτοῦ ἀσφαλῶς. Οὕτως ἀπῆλθον ἐκ Ῥώμης ὁ Μεθόδιος, ὁ Βίχιγγος καὶ ὁ Σεμίζιος ἐπανακάμπτοντες εἰς Μοραβίαν.

Ἡ πατριαρχικὴ καὶ συνοδικὴ ἐπιστολὴ Ἰωάννου τοῦ Η΄ ἦν ἀναντιρρήτως ὁ θρίαμβος τοῦ ἱεροῦ Μεθοδίου, ἡ καταισχύνη δὲ καὶ ἡ ἐσχάτη ταπείνωσις τῆς φραγκικῆς ἱεραρχίας· ἐκ τῆς τύχης ἄρα τῆς ἐπιστολῆς ταύτης ἐξηρτᾶτο ἀμέσως τὸ πᾶν. Ἡ ἐπιστολὴ ἀπέβλεπεν εἰς τὴν παραυτίκα ἐξάλειψιν καὶ τῆς ἐλαχίστης δογματικῆς ὑπονοίας ἐναντίον τοῦ ἀρχιεπισκόπου Μοραβίας καὶ Παννονίας καὶ εἰς τὴν ἐν ταῖς χώραις ταύταις ἀποκατάστασιν τῆς εἰρήνης διὰ τῆς ἀποδοκιμασίας καὶ ἀπορρίψεως τῶν ἀξιώσεων καὶ ἀπαιτήσεων τῶν φράγκων ἐπισκόπων. Ὁ Ἰωάννης καὶ ἡ περὶ αὐτὸν σύνοδος ἀπεφαίνοντο ἐν αὐτῇ διαρρήδην καὶ ὑπὲρ τῆς ὀρθοδοξίας τοῦ Μεθοδίου καὶ ὑπὲρ τῆς χρήσεως τῆς σλαυϊκῆς γλώσσης ἐν τῇ θείᾳ λατρείᾳ, εἰς τὸ κῦρος δὲ τοῦτο ὤφειλε νὰ ὑποκύψῃ καὶ ὁ Σουατοπόλκος καὶ εἴ τις ἄλλος ἐκ τῶν ἀρχόντων αὐτοῦ, ἀλλ' ἐν πρώτοις ὤφειλον ὑποκύψαι εἰς τοῦτο οἱ ἱεράρχαι τῆς Γερμανίας. Τί λοιπὸν ἐγένετο; Ὑπετάγησαν ἆρά γε οὗτοι, ὡς ὤφειλον, εἰς τὸ κῦρος τοῦτο; ἔπαυσεν ὁ κατὰ τοῦ ἱεροῦ Μεθοδίου πόλεμος; τέλος πάντων ἔφθασεν εἰς τὸν πρὸς ὃν ὅρον ἡ ἐπιστολὴ τοῦ Ἰωάννου: «Ἂν, λέγει ὁ Γίνζελος λίαν περιπαθῶς ἐκτιθεὶς τὰ περὶ τούτων, ἂν ὑπῆρχεν ἐν τῇ καρδίᾳ τῶν φράγκων ἐπισκόπων καὶ σπινθὴρ σεβασμοῦ πρὸς τὴν ἀνωτάτην ἐκκλησιαστικὴν αὐτῶν ἀρχήν, πρὸς τὸν ἐπὶ τοῦ θρόνου τῆς Ῥώμης καθήμενον τὸν οὕτως ἀποφανθέντα ὑπὲρ τοῦ Μεθοδίου καὶ τῶν πραγμάτων τῆς ἐκκλησίας αὐτοῦ· ἂν ὑπῆρχεν ἐν αὐτοῖς καὶ σπινθὴρ ἁγίου ζήλου ὑπὲρ τῆς ἐκκλησίας τοῦ Θεοῦ, ὤφειλον νὰ σεβασθῶσι τὴν φωνὴν αὐτῆς, νὰ ὑποταχθῶσιν εἰς τὰς διατάξεις αὐτῆς καὶ νὰ ἐφησυχάσωσι, παραιτούμενοι τοῦ λοιποῦ πάσης κατὰ τοῦ Μεθοδίου ἀντιπράξεως· ἀλλὰ δυστυχῶς τὰ πράγματα ἀπέδειξαν ὅλως τὸ ἐναντίον. Ὁ Βίχιγγος καὶ οἱ περὶ αὐτὸν φράγκοι ἐπίσκοποι ἰδόντες τὴν ἔκβασιν, ἣν ἔλαβεν ἡ κατὰ τοῦ Μεθοδίου

καταγγελία αὐτῶν, καὶ καλῶς ἤδη ἐπιστάμενοι ὅτι οὗτος ἐπανήρχετο εἰς Μοραβίαν πολλῷ ἰσχυρότερος ἢ ὅ,τι ἦν πρότερον, κατέφυγον καὶ αὖθις εἰς τὰ αἰσχρὰ τῆς ἀπάτης καὶ τοῦ ψεύδους μέσα. Ἀντὶ τῆς ἐπιστολῆς, ἣν ἔλαβον ἐκ τῶν χειρῶν Ἰωάννου τοῦ Η΄ ὅπως ἐγχειρίσωσιν ἀσφαλῶς τῷ Σουατοπόλκῳ, ἐπέδωκαν τῷ ἡγεμόνι τῆς Μοραβίας ἑτέραν, ἣν αὐτοὶ ἔπλασαν ὡς ἐβούλοντο» (Βλ. Γίνζ. ἔνθ. ἀνωτέρ. σελ. 84).

Ποῖον τὸ περιεχόμενον τῆς πλαστῆς ἐπιστολῆς, ἣν ἐπέδωκαν αὐτῷ, ἅτε δὴ ἐξαφανισθείσης, οὐδὲν δυνάμεθα πλέον σήμερον νὰ εἴπωμεν μετὰ βεβαιότητος· οὐδὲν εἶναι ὅμως καὶ δύσκολον νὰ εἰκάσωμεν τὰ ἐν αὐτῇ ἔχοντες ἐνώπιον ἡμῶν τὴν εὐθὺς μετ' ὀλίγον (τῷ 881) ἐκδοθεῖσαν ἐπιστολὴν τοῦ Ἰωάννου καὶ τὰ γράμματα τοῦ πάπα Ῥώμης Στεφάνου τοῦ ς΄, ἅπερ μάλιστα τῶν νεωτέρων τινὲς ὑπέλαβον ὅτι εἰσὶν αὐτὰ ἐκεῖνα τὰ ὑπὸ τοῦ Βιχίγγου καὶ τῶν φράγκων ἐπισκόπων ἐν γωνίᾳ καὶ παραβύστῳ χαλκευθέντα, ψευδῶς δὲ φέροντα τὸ ὄνομα Στεφάνου τοῦ ς΄. Τὸ πλαστουργηθὲν ἔγγραφον περιελάμβανε περίπου τάδε· ὅτι ὁ Μεθόδιος ἀνακριθεὶς ἐν Ῥώμῃ εὑρέθη μὲν ἑτεροδοξῶν ἐν τῇ περὶ τοῦ ἁγίου Πνεύματος διδασκαλίᾳ, ἀπέπτυσεν ὅμως ἐπὶ τέλους· τὴν ἑτεροδοξίαν αὐτοῦ καὶ ὤμοσε τοῦ λοιποῦ διδάσκειν ὀρθοδόξως, ἤγουν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται καὶ ἐκ τοῦ Υἱοῦ· ὅτι ἡ χρῆσις τῆς σλαυϊκῆς γλώσσης ἐν τῇ θείᾳ λατρείᾳ ἀπηγορεύθη αὐτῷ αὐστηρῶς ὑπὸ τοῦ Ἰωάννου, καὶ ὅτι ὁ ἐπίσκοπος Βίχιγγος, ὁ καλὸς καὶ πιστὸς οὗτος λειτουργὸς τῆς ἐκκλησίας, ἐνόρκως ὑπέσχετο ἐνώπιον τοῦ πάπα καὶ τῆς περὶ αὐτὸν συνόδου ἵνα καὶ τὴν διδασκαλίαν τοῦ Μεθοδίου ἐφεξῆς ἐπιτηρῇ καὶ εἰς τὴν ἀκριβῆ ἐκτέλεσιν τῆς λειτουργικῆς διατάξεως ἐπαγρυπνῇ.

Οὕτω τὰ πράγματα ἐκακουργήθησαν πρὸς ἐξαπάτησιν καὶ τοῦ βασιλέως Σουατοπόλκου καὶ τῶν πιστῶν αὐτοῦ ὑπηκόων, τῶν ἀθώων καὶ ἀπειροκάκων σλαύων. Ἀλλὰ τὸ αἰσχρὸν τέχνασμα δὲν ἦτον δυνατὸν νὰ μείνῃ ἐπὶ πολὺ κεκρυμμένον· μετ' ὀλίγον ἀπεκάλυψε τὴν ἀπάτην ὁ Μεθόδιος· ἡ πρὸς αὐτὸν ἀμφίβολος καὶ ἐπιφυ-

λακτική συμπεριφορὰ τοῦ Σουατοπόλκου, αἱ ἀναίσχυντοι ψευδολογίαι καὶ ἀξιώσεις τοῦ Βιχίγγου καὶ ἡ ἐντεῦθεν γενικὴ σχεδὸν ἀκαταστασία καὶ ἀβεβαιότης τῶν πραγμάτων τῆς ἀρχιεπισκοπικῆς ἐκκλησίας ἠνάγκασαν ἐπὶ τέλους τὸν σεβάσμιον ἱεράρχην νὰ λύσῃ τὴν σιωπήν. Μετὰ παρρησίας καὶ θάρρους ἐπεκαλέσατο ἤδη ὁ Μεθόδιος τὴν ὑπὲρ αὐτοῦ ἐπιστολὴν Ἰωάννου τοῦ Η΄, ἀλλὰ καὶ ὁ ἡγεμὼν οὐδὲν ἧττον διεβεβαιοῦτο ὅτι τὸ περιεχόμενον αὐτῆς ἦν ὅλως διάφορον οὗ ἔλεγεν ὁ Μεθόδιος, ὁ δὲ ἀναιδὴς Βίχιγγος ἐπέμενεν ἐπικαλούμενος τὸν ὅρκον, ὃν παρ' αὐτοῦ ἐζήτησε καὶ ἔλαβε δῆθεν ὁ Ἰωάννης ἐν Ῥώμῃ. Εἰκότως ἄρα ὁ Μεθόδιος πανταχόθεν ἤδη στενοχωρούμενος, πλήρης ἀμφιβολίας καὶ δισταγμῶν περὶ τῆς εἰλικρινείας τῶν ἐν Ῥώμῃ, ἐφανέρωσε ταῦτα πάντα τῷ Ἰωάννῃ, προσκλαιόμενος ὅτι τὰ τῷ Σουατοπόλκῳ ἐπιδοθέντα γράμματα οὐκ ἦσαν αὐτὰ ἐκεῖνα, ἅπερ καὶ αὐτὸς εἶδε καὶ ἀνέγνω ἐν Ῥώμῃ, ὅτι ἄλλα ἀνεγνώσθησαν αὐτῷ ἐν Ῥώμῃ καὶ ἄλλα ἀπεστάλησαν, ἐξ οὗ καὶ πολλὰ ἔδει ὑπομένειν καὶ πρὸς πειρασμοὺς παλαίειν καθημέραν σκληρούς. Τούτων οὕτω διὰ γραμμάτων δηλωθέντων, Ἰωάννης ὁ Η΄ ἐπέστειλε τῷ Μεθοδίῳ τῷ 881 διαβεβαιούμενος ὅτι δεύτερα γράμματα οὔτε ἐγράφησαν, οὔτε ἀπεστάλησαν, ὅτι αὐτὰ ἐκεῖνα ἐπέμφθησαν, ἅπερ καὶ αὐτὸς (ὁ Μεθόδιος) εἶδεν ἐν Ῥώμῃ, ὅτι πρὸς τὸν ἐπίσκοπον Βίχιγγον οὔτε κοινῇ οὔτε ἰδίᾳ ἐλαλήθησαν ἄλλα παρὰ τὰ διατυπωθέντα ἐν τῷ γράμματι, ἥκιστα δὲ ἐζητήθη καὶ ἐλήφθη παρ' αὐτοῦ ὅρκος, περὶ οὗ οὐδὲ λέξις ἐλέχθη αὐτῷ. Προτρέπων δὲ τὸν Μεθόδιον ἵνα πᾶσαν περὶ τούτων ἀμφιβολίαν καὶ δισταγμὸν μακρὰν αὐτοῦ ἐκδιώκων ἐμμένῃ ἐν τῇ διδασκαλίᾳ τῆς ὀρθοδόξου πίστεως καὶ μὴ λυπῆται ἐπὶ τοῖς ἀνιαροῖς, ἀλλὰ μᾶλλον χαίρῃ, παρεμυθεῖτο ὑπισχνούμενος νὰ τιμωρήσῃ τὸν Βίχιγγον κανονικῶς, ἐπειδὰν ἐμφανισθέντες ἀκουσθῶσιν ἐν Ῥώμῃ ἀμφότεροι (ὁ Μεθόδιος καὶ ὁ Βίχιγγος)[1].

1. Verum auditis per tuas litteras variis casibus, vel eventibus tuis, quanta compassione tibi condoluerimus ex hoc advertere poteris... nostrisque apostolicis litteris glorioso principi Sphento-

Ἀρά γε προσεκλήθη ὁ Βίχιγγος ἐν Ῥώμῃ πρὸς ἀπολογίαν ἢ οὔ: προσκληθεὶς δὲ ὑπήκουσεν ἢ οὔ; ἐπετιμήθη τοὐλάχιστον ἀμέσως παρὰ τοῦ πάπα Ἰωάννου διὰ γράμματος ἐφ οἷς κατηγορεῖτο; Οὐδὲν τούτων ἱστορεῖται· τοῦτο μόνον λέγεται ὑπὸ τῶν ἀρχαίων βιογράφων (Legend. bulgar. c. 7) ὅτι ὁ Μεθόδιος ἀνεθεμάτισεν ἐπὶ τέλους τὸν Βίχιγγον, ὅπερ ὑποδείκνυσιν ἡμῖν ὅτι ἡ Ῥώμη ἤτοι οὐδὲν κατ' αὐτοῦ ἐπεχείρησεν ἢ καὶ ἐπιχειρήσασα ἀπέτυχε, τοῦ δολίου καὶ ἀναιδοῦς ἐκείνου ἐπισκόπου ἔχοντος ἰσχυροὺς προστάτας τόν τε βασιλέα τῆς Μοραβίας Σουατοπόλκον καὶ τὸν ἡγεμόνα τῆς Παννονίας Ἀρνοῦλφον, πρώτιστα δὲ πάντων καὶ μάλιστα αὐτὸν ἴσως τὸν κρύφιον ἐναντίον τῆς σλαυϊκῆς γλώσσης πόθον τῆς Ῥώμης (πρβλ. Γίνζ. ἔνθ. ἀν. σελ. 84—87).

Τέσσαρες ἔκτοτε παρῆλθον ἐνιαυτοὶ πολλῆς βεβαίως πικρίας τῷ γηραιῷ ἱεράρχῃ, ἕως οὗ οὗτος πλήρης ἡμερῶν παρέδωκε τῷ Κυρίῳ τὸ πνεῦμα αὐτοῦ. «Ὁ θάνατος τοῦ Μεθοδίου, λέγει ὁ Γίνζελος, ἦν διὰ τὴν ἐκκλησίαν αὐτοῦ μεγάλη δοκιμασία· διότι ἐν αὐτῷ, ὅστις ἦν ὁ πατὴρ καὶ προστάτης αὐτῆς, ἀπώλεσεν αὕτη τὸ πρώτιστον καὶ μέγιστον στήριγμα· ὅ,τι δὲ οἱ μαθηταὶ αὐτοῦ καὶ ἅπας ὁ περὶ αὐτὸν εὐσεβὴς λαὸς τὴν ἀπώλειαν ταύτην προβλέποντες προέλεγον, τοῦτο καὶ συνέβη». Τῷ ὄντι ὁ θάνατος τοῦ ἱεροῦ ἀνδρὸς ἀφῆκεν ἐλεύθερον τῆς ἐνεργείας τὸ στάδιον οὐ μόνον εἰς τὸν φραγ-

bulcho quas ei asseris fuisse delatas, hoc ipsum significavimus, et neque aliæ litteræ nostræ ad eum directæ sunt, neque episcopo illi palam, vel secreto aliud faciendum injuximus, et aliud a te peragendum decrevimus. Quanto minus credendum est, ut sacramentum ab eodem Episcopo exhigeremus, quem saltem levi sermone super hoc negotio allocuti non fuimus... Ceterum de aliis tentationibus, quas diverso modo perpessus es, noli tristare, quin potius hoc secundum apostolum omne gaudium prossus existima... quicquid jam dictis epistolis (κατ' ἄλλους ἀναγνωστέον dictus episcopus) contra suum ministerium in te exercuit, utramque audientiam coram nobis discussam, adjuvante Domino, legitimo fini trademus et illius pertinaciam judicii nostri sententia corripere non omittemus. (Βλ. καὶ ταύτην τὴν ἐπιστ. παρὰ τῷ Γινζ. Anhang. σελ. 62.

κικὸν κλῆρον, ἀλλὰ καὶ εἰς τὴν Ῥώμην, καὶ ὅ,τι οὐκ ἤνυσαν οὗτοι ζῶντος αὐτοῦ, διεπράξαντο ἤδη μετὰ τὴν τελευτήν, ἥτις κατὰ τὴν ἐπικρατεστέραν σήμερον γνώμην τίθεται τῇ 6 ἀπριλίου τοῦ 885 σωτηρίου ἔτους συνῳδὰ τῷ ἐκ Παννονίας ἀρχαίῳ βιογράφῳ (Leg-pann. c. 17)[1].

Περίλυποι οἱ μαθηταὶ τοῦ ἁγίου Μεθοδίου προσῆλθον αὐτῷ μικρὸν πρὸ τοῦ θανάτου αὐτοῦ δεόμενοι ὑποδεῖξαι αὐτοῖς τὸν διάδοχον αὐ-

1. Τῇ γνώμῃ ταύτῃ φαίνεται ἐν μέρει προσχωρῶν καὶ Λέων ὁ ΙΓ' ἐν τῇ ἐγκυκλίῳ αὐτοῦ. Κατ'ἄλλους ὁ Μεθόδιος ἐτελεύτησε τῷ 886 ἢ 887, κατὰ τὸν Κοπιτάριον μεταξὺ τοῦ 884 καὶ 894, κατὰ τὸν Βαττεμβάχιον τῷ 892, κατὰ τὸν Σχλοίζερον (Schlœzer) τῷ 899, καὶ κατὰ τὸν Στρεδόφσκυον τῷ 910! Ἐν αὐτοῖς δὲ τούτοις τοῖς χρονικοῖς τῆς Παννονίας (Leg. pann. c. 17), οἷς συνᾴδουσι καὶ ἄλλα καὶ ὁ τοῦ ἐν ἁγίοις Κλήμεντος ἐπισκόπου Βουλγαρίας βίος (Leg. bulgar. c. 6) ὁ Μεθόδιος ἱστορεῖται τελευτήσας καὶ ταφεὶς ἐν Μοραβίᾳ. Οἱ ἀρχαιότεροι καὶ κατὰ τοῦτο διαφωνοῦσι θέλοντες αὐτὸν ἐν Ῥώμῃ τὸ ζῆν ἐκμετρήσαντα καὶ ἐν αὐτῷ τῷ μνημείῳ ταφέντα, ἐν ᾧ καὶ ὁ μακάριος ἀδελφὸς αὐτοῦ Κύριλλος τῷ 869, ἀλλὰ καὶ τοῦτο κἀκεῖνο ἐκ τοῦ ἀέρος ἀρύονται. Περιττὸν δὲ προσθεῖναι ἐνταῦθα ὅτι εἰσὶ καὶ ἕτεροι ἐῶντες τὰ περὶ τοῦ χρόνου καὶ τοῦ τόπου τῆς τελευτῆς τοῦ ἱεροῦ ἀνδρὸς παντάπασιν ἀόριστα (βλ. Γίνζ. ἔνθ. ἀν. σελ. 90—91 καὶ Μαρτίνωφ ἔνθ. ἀν. σελ. 393—394). Τὸ τέλος τοῦ σεβασμίου ἱεράρχου ἀφηγεῖται ὁ ἐκ Παννονίας ἀρχαῖος βιογράφος λίαν συμπαθῶς ὧδε «Τῇ κυριακῇ τῶν Βαΐων συνηγμένου τοῦ λαοῦ εἰσῆλθεν ὁ Μεθόδιος εἰς τὸν ναὸν τοῦ Θεοῦ καὶ μετὰ βραχεῖαν διδαχὴν εὐλογήσας τὸν βασιλέα, τὸν ἱερὸν κλῆρον καὶ τὸν λαὸν εἶπε Γρηγορεῖτε παρ'ἐμοί, τέκνα, μέχρι τῆς τρίτης ἡμέρας, ὃ δὴ καὶ ἐγένετο· ὅτε δὲ ἀνέτειλεν ἡ τρίτη ἡμέρα ἀνοίξας τὸ στόμα αὐτοῦ εἶπε Κύριε, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· καὶ ἀνεπαύθη ἐν χερσὶ τοῦ πρεσβυτερίου αὐτοῦ τῇ 6 ἡμέρᾳ τοῦ ἀπριλίου, ἰνδικτιῶνος γ', ἔτει δὲ ἀπὸ κτίσεως κόσμου 6393 (τουτέστι τῷ 885 ἀπὸ σωτῆρος Χριστοῦ). Οἱ μαθηταὶ αὐτοῦ ἀπέδωκαν αὐτῷ τὰς ὀφειλομένας τιμάς, ἀνεγνώσθη ἡ νεκρώσιμος ἀκολουθία λατινιστί, ἑλληνιστὶ καὶ σλαυϊστί, ἐτελέσθη ἡ θεία μυσταγωγία καὶ ἐτάφη ἐν τῇ συνοδικῇ ἐκκλησίᾳ (synodali ecclesia), συναριθμηθεὶς μετὰ τῶν πατέρων αὐτοῦ, τῶν πατριαρχῶν καὶ τῶν ἀποστόλων, τῶν διδασκάλων καὶ τῶν μαρτύρων. Ἀναρίθμητον πλῆθος λαοῦ συνέρρευσε πανταχόθεν εἰς τὴν κηδείαν αὐτοῦ ὅπως θρηνήσωσι τὸν διδάσκαλον καὶ τὸν καλὸν ποιμένα· ἄνδρες καὶ γυναῖκες, μικροὶ καὶ μεγάλοι, πλούσιοι καὶ πένητες, ἐλεύθεροι καὶ δοῦλοι, χῆραι καὶ ὀρφανά, ξένοι καὶ ἰθαγενεῖς, ἀσθενοῦντες καὶ καλῶς ἔχοντες, πάντες συνέδραμον εἰς τὴν ἐκφορὰν αὐτοῦ, ὅστις τοῖς πᾶσι γέγονε τὰ πάντα ἵνα τοὺς πάντας κερδήσῃ» (Leg. pann. c. 17).

τοῦ ἐπὶ τῇ ἐλπίδι ὅτι ἂν τοιοῦτος ἐξελέγετο εἷς ἐκ τῶν πιστῶν αὐτοῦ μαθητῶν, ἐξησφαλίζετο ἐν ταῖς χώραις ἐκείναις καὶ τῆς ὀρθοδοξίας καὶ τῆς ἐπικρατούσης ἐκκλησιαστικῆς τάξεως ἡ περαιτέρω ὕπαρξις. Ὁ θεοφιλὴς ἱεράρχης ἐνέδωκε καὶ ὡς διάδοχον αὐτοῦ ὑπέδειξε τὸν Γοράσδον, εἰπών Οὗτός ἐστι μοραβὸς ἐξ οἴκου περιφανοῦς, ἔμπειρος καὶ τῆς λατινικῆς γλώσσης καὶ ὀρθόδοξος· εἴη ἀρεστὸς τῷ Θεῷ καὶ ἡμῖν ὥσπερ καὶ ἐμοί[1].

Ἀλλὰ καθὼς ὁ Μεθόδιος καὶ οἱ περὶ αὐτὸν προνοήσαντες ἠσφαλίσαντο κατὰ τὸ ἐνὸν τὰ ἑαυτῶν πράγματα διὰ τῆς ἐκλογῆς ἑνὸς σλαύου, οὕτω καὶ ἡ ἀντίπαλος μερὶς τῶν φράγκων πρῶτον αὐτῆς ἔργον ἔθετο τὸ ἐκ ποδῶν ποιήσασθαι καὶ τοῦτον καὶ πάντας τοὺς ἄλλους, οὓς ἡ ἐνδελεχὴς μέριμνα τοῦ ἱεράρχου εἶχε προπαρασκευάσασα πρὸς διδασκαλίαν τοῦ εὐσεβοῦς ἐκείνου λαοῦ καὶ πρὸς καταρτισμὸν αὐτοῦ ἐν Χριστῷ Ἰησοῦ. Ὁ Γοράσδος ἦν ἁγιώτατος καὶ ἱκανότατος ἀνήρ· ἀλλὰ δὲν ἦτον ὁ Μεθόδιος. Ἀλλὰ καὶ αἱ πολιτικαὶ σχέσεις τοῦ Σουατοπόλκου πρὸς τὸν ἡγεμόνα τῆς Παννονίας Ἀρνοῦλφον, τὸν πάτρωνα τοῦ Βιχίγγου, πρὸ πάντων δὲ βεβαίως ἡ τροπὴ ἣν ἔλαβον τὰ πράγματα ἐν Ῥώμῃ ἐπήνεγκον τὴν καταστροφὴν τῶν τοσούτων καὶ τηλικούτων ὑπὲρ τῆς ὀρθοδοξίας ἀγώνων τῶν δύο ἐξ Ἀνατολῆς διδασκάλων ἐν Μοραβίᾳ. Ὁ Σουα-

1. Interrogarunt autem et dixerunt: Quem agnoscis pater et doctor honorabilis inter discipulos tuos in instituendo tibi successorem? Monstravit vero illis unum ex fidis discipulis suis dictum Gorazd, dicens: Hic est vestræ patriæ vir ingenuus atque in latinis libris apprime eruditus et orthodoxus: hoc sit Deo gratum et vobis sicuti et mihi (Leg. pann. c. 17). Ὅτι δὲ καὶ τῆς ἑλληνικῆς γλώσσης ἐμπειρότατος ἐτύγχανεν ὁ ἱερὸς Γοράσδος ἢ Γοράσδων λέγεται ῥητῶς ἐν τῷ βίῳ τοῦ ἐν ἁγίοις Κλήμεντος ἐπισκόπου Βουλγαρίας κεφ. 12. Gorasdus ille quem e Moravo oriundum et utriusque linguæ slovenicæ et græcæ peritissimum virtus Methodii ad sedem episcopalem evexit... Horum (slavorum presbyterorum) vero primus tenebat Gorasdus... qui ab ipso Sancto finis suis conscio archiepiscopus Moravi renunciatus est.

τοπόλκος καὶ οἱ περὶ αὐτὸν ἄρχοντες ὑπέγραψαν μετ' οὐ πολὺ τὴν ἔξωσιν τῶν σλαύων μαθητῶν τοῦ Μεθοδίου, καὶ δὴ τῷ 886 διακόσιοι ἐξ αὐτῶν, οἱ διαπρεπέστεροι, ἀπήχθησαν διὰ στρατιωτικῆς δυνάμεως μέχρι τῶν ὁρίων τῆς Μοραβίας, ὁπόθεν διεσπάρησαν ἐν Βουλγαρίᾳ καὶ ἀλλαχοῦ γενόμενοι δεκτοὶ μετὰ πολλῆς τῆς εὐλαβείας ὡς ὁμολογηταὶ τῆς ὀρθοδόξου πίστεως. Διέλαμψαν δὲ ἐν τούτοις ἐπ' ἀρετῇ καὶ ἁγιότητι βίου ἐξόχως ὁ Γοράσδος, ὁ Κλήμης, ὁ Ναοὺμ, ὁ Ἀγγελάριος καὶ ὁ Σάββας, ὧν καὶ τὴν μνήμην σὺν τῇ τῶν διδασκάλων Κυρίλλου καὶ Μεθοδίου εὐλαβῶς τελοῦσι μέχρι τῆς σήμερον κατὰ τὴν κς' νοεμβρίου αἱ χῶραι αἱ ὑποδεξάμεναι αὐτοὺς ἐν τοῖς ἑαυτῶν κόλποις[1].

Σὺν τῇ ἐξώσει τοῦ λογιωτέρου καὶ νοημονεστέρου σλαυϊκοῦ κλήρου ἐκ τοῦ βασιλείου τοῦ Σουατοπόλκου συνεξώσθη καὶ ἡ κρατοῦσα τέως αὐτόθι ὀρθόδοξος πίστις τῆς καθολικῆς ἐκκλησίας καὶ ἡ τῆς ἀνατολικῆς θείας λατρείας τάξις καὶ ἡ ἐν αὐτῇ ἐν χρήσει οὖσα σλαυϊκὴ γλῶσσα. Ταῦτα δὲ πάντα οὐ μόνον οὐ προέλαβεν ἡ Ρώμη, ἀλλὰ καὶ συνέπραξεν ἐν τούτοις καὶ ἐπισήμως παρεσκεύασεν αὐτὰ εἰς τρόπον ἥκιστα τιμῶντα τὸ ὕψος τῆς ἐκκλησιαστικῆς αὐτῆς περιωπῆς καὶ περιφανείας, ὡς γίνεται δῆλον ἐκ τῶν γραμμάτων τοῦ πάπα Στεφάνου τοῦ ς' (885—891) ἅπερ μετὰ τῶν γραμμάτων Ἰωάννου τοῦ Η' ἀρτίως ἀνεῦρεν ἐν τῷ κώδικι τοῦ βρεττανικοῦ μουσείου ὁ Ἔβαλδ.

Ἐν τῷ κώδικι τούτῳ κεῖται τὸ ἐνταλτήριον γράμμα (Communitorium) τοῦ πάπα τούτου, ὅπερ ἔφερον μετὰ χεῖρας οἱ εἰς Μοραβίαν (ad Slavitos) ἀπεσταλμένοι αὐτοῦ Δομίνικος ἐπίσκοπος καὶ Ἰωάννης καὶ Στέφανος οἱ πρεσβύτεροι, ἐλλείπει δὲ ἡ πολυθρύλλητος ἐπιστολὴ αὐτοῦ πρὸς τὸν Σουατοπόλκον, ἡ ἀπὸ τοῦ 1849 εἰς

1. Βλ. τὴν ἀκολουθίαν αὐτῶν χειρόγραφον ἐν τῇ βιβλιοθήκῃ τοῦ πατριαρχείου Κωνσταντινουπόλεως, καὶ τὴν ἱστορικὴν ἀνάμνησιν τῆς ἀρχιεπισκοπῆς Ἀχριδῶν καὶ τοῦ πατριαρχ. Τυρνόβου ὑπὸ Γ. Νέμτσωφ ἐν Κωνσταντινουπόλει τύποις Μακεδονίας 1868, καὶ τὴν σύντομον ἱστορικὴν περιγραφὴν τῆς μητροπόλεως Βελεγράδων ὑπὸ τοῦ μητροπολίτου Βελεγράδων Ἀνθίμου ἐν Κερκύρᾳ 1868.

φῶς ἐξελθοῦσα καὶ πολλαχῶς μέχρις ἐσχάτων σχολιασθεῖσα καὶ διαμφισβητηθεῖσα· ἀλλ' ἡ πρὸς τὸ ἐνταλτήριον τελεῖα ἐν πᾶσι συμφωνία αὐτῆς οὐδεμίαν ἀμφιβολίαν καταλείπει σήμερον παρὰ τοῖς κριτικοῖς ὅτι καὶ αὕτη, ὡς τὸ ἐνταλτήριον, εἰσὶ γράμματα ἐπίσημα ἐξελθόντα τότε, ὀλίγον μετὰ τὴν τελευτὴν τοῦ ἱεροῦ Μεθοδίου, ἐκ τῆς ἐκκλησιαστικῆς καγγελαρίας τῆς Ρώμης. Ὑπὲρ τῆς γνησιότητος τῆς ἐπιστολῆς ταύτης ἐκηρύχθησαν ἤδη καὶ ἄλλοι καὶ αὐτὸς ὁ Ἔβαλδ, λίαν δὲ εὐγλώττως ὑπεραπολογεῖται αὐτῆς ὁ κύριος Μαρτίνωφ ἐν τῇ προμνησθείσῃ (σελ. 101) διατριβῇ αὐτοῦ. Καὶ τῷ ὄντι τὰ γράμματα ταῦτα ἦσαν ἀναγκαιότατα τότε πρὸς καθησύχασιν τοῦ σλαυϊκοῦ λαοῦ μέλλοντος νὰ ἴδῃ αἴφνης τὰ πράγματα τῆς ἐκκλησίας αὐτοῦ ἀρδην ἀνατρεπόμενα διὰ τῆς ἐκλατινίσεως αὐτῶν· διὸ καὶ ἡμεῖς παρατρέχοντες ὧδε πᾶν ἄλλο, περιοριζόμεθα ἁπλῶς εἰς τὴν μεταφορὰν τῶν κυριωτέρων σημείων τοῦ καλάμου Στεφάνου τοῦ ς' ἵνα ἐννοήσῃ ὁ ἀναγνώστης ἡμῶν μέχρι τίνος βαθμοῦ καὶ πόσον ταχέως ἐπελάθετο καὶ πάλιν ἑαυτῆς ἡ Ρώμη, ἡ Ρώμη, ἧς τῶν λόγων τοσοῦτον εὐλαβῶς καὶ περιπαθῶς μνημονεύει σήμερον ἐν τῇ ἐγκυκλίῳ αὐτοῦ ὁ μακαριώτατος πάπας Λέων ὁ ΙΓ' μετὰ χίλια, ὡς λέγει, ἀκριβῶς ἔτη.

Στέφανος ὁ ς' ἐν τοῖς γράμμασιν αὐτοῦ πρῶτον ὁμιλεῖ περὶ τοῦ ἁγίου Πνεύματος συνοψίζων τὴν καθολικὴν (;!) περὶ τῆς ἐκπορεύσεως αὐτοῦ διδασκαλίαν ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὡς ἑξῆς· Spiritus sanctus a Patre et Filio, nec ingenitus ut duo patres, nec genitus ut duo filii, sed procedens dicitur ὅπερ ἐστί, «τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ οὐκ ἀγέννητον, ἵνα μὴ δύο Πατέρες, οὐδὲ γεννητόν, ἵνα μὴ δύο Υἱοί, ἀλλὰ προιὸν λέγεται». Εἰς ἐκείνους δὲ οἵτινες ἤθελον ἀντιτάξει ὅτι οἱ ἅγιοι πατέρες ἀπηγόρευσαν τὴν προσθήκην ἢ τὴν ἀφαίρεσιν οἵας δή τινος λέξεως ἐκ τοῦ συμβόλου τῆς πίστεως οἱ ἀπεσταλμένοι αὐτοῦ ὤφειλον ἀπαντῆσαι ὅτι ἡ ῥωμαϊκὴ ἐκκλησία πιστὴ φύλαξ τῶν ἱερῶν δογμάτων, οὐδέποτε (;!) ἐκλονίσθη ἐν τῇ καθολικῇ πίστει, ἀλλὰ τοὐναντίον ἐστερέωσεν ἐκείνους, ὧν ἡ πίστις ἐκλονεῖτο καὶ ὅτι οὐδαμῶς

μεταβάλλει (:!) τὰ δόγματα, ἀλλὰ διεξηγεῖται αὐτὰ τοῖς μὴ ἐννοοῦσιν ἢ παρερμηνεύουσιν αὐτὰ (non immutando sancta dogmata, sed aut non intelligentibus aut mala sentientibus exponendo). Ἐν τέλει δὲ τοῦ ἐνταλτηρίου παρατίθενται ὡς ἐπιβοηθητικὰ δῆθεν διάφορα ἔγγραφα σχετικὰ πρὸς τὴν προσθήκην τοῦ φιλιόκβε ἐν τῷ συμβόλῳ, ἤτοι ἀποσπάσματα ἐκ τοῦ διαλόγου τοῦ ἐν ἔτει, 809 μεταξὺ τῶν ἀπεσταλμένων Καρόλου τοῦ μεγάλου καὶ τοῦ πάπα Λέοντος τοῦ Γ', ὅστις, ὡς γνωστόν, ἀκράδαντος διαμείνας ἐν τῇ πίστει τῶν μακαρίων πατέρων καὶ τῶν ἱερῶν οἰκουμενικῶν συνόδων ἠρνήσατο ἀποδέξασθαι καὶ καθιερῶσαι τὴν ἀσύγγνωστον προσθήκην, ἔλεγχον καὶ καταισχύνην διηνεκῆ τῶν μετὰ ταῦτα παπιστῶν.

Δεύτερον ἀπαγορεύει διαρρήδην καὶ ἀποτόμως τὸ ἐπιτελεῖσθαι τὴν θείαν λειτουργίαν σλαυϊστί, ἀναφέρων ὅτι τὴν ἀπαγόρευσιν ταύτην ἀπεδέξατο καὶ μεθ' ὅρκου ἡτοιμάζετο διαβεβαιώσασθαι Ἰωάννῃ τῷ Η' τὸ μηκέτι τοῦ λοιποῦ ἐπιτελέσαι τὴν θείαν λειτουργίαν σλαυϊστὶ καὶ αὐτὸς ὁ Μεθόδιος (:!). Καὶ εἰ μέν τις, ἐπάγει μετὰ ταῦτα, κάτοχος ὢν τῆς σλαυϊκῆς γλώσσης καὶ καλῶς ἐν αὐτῇ γεγυμνασμένος δύναται διεξηγεῖσθαι τῷ λαῷ τὰ λόγια τοῦ εὐαγγελίου, ποιείτω τοῦτο· ὅτι ἀρεστὸν τοῦτο τῇ ἁγίᾳ ἕδρᾳ. Ἐὰν δέ τις παρακούων ἐκκλίνῃ τῶν διατάξεων τούτων, ἔστω βέβαιος ὅτι ἀναθεματισθήσεται. Προβαίνων δὲ ὁ περινούστατος ποντίφηξ διατάσσει ἵνα οἱ ἀπειθοῦντες τούτοις μὴ μόνον τῆς κοινωνίας τῶν πιστῶν ἀποκόπτωνται, ἀλλὰ καὶ τοῦ βασιλείου ἐξορίζωνται, ὅπως μὴ ὡς ψωραλέα πρόβατα μεταδιδῶσι τὸ μόλυσμα καὶ τῷ λοιπῷ ποιμνίῳ!

Τρίτον πραγματεύεται περὶ τῶν νηστειῶν τῆς ἐκκλησίας διεξηγούμενος τὴν ἀρχὴν καὶ τὴν τήρησιν αὐτῶν συνιστῶν, συμπεριλαμβανομένης καὶ τῆς συνηθείας τοῦ νηστεύειν τὸ σάββατον, συνηθείας ἰδιαζούσης τοῖς λατίνοις, ἀγνώστου δὲ παντάπασιν ἐν τῇ ἀνατολικῇ ἐκκλησίᾳ[1].

1. Τὸ πνεῦμα ἐν ᾧ γεγράπται ἡ ἐπιστολὴ Στεφάνου τοῦ Γ' τίθησιν ἐκτὸς πάσης

Τέταρτον ὁ πάπας ἐντέλλεται τοῖς ἀπεσταλμένοις αὐτοῦ ἀπαγορεῦσαι τῷ ὑπὸ τοῦ ἱεροῦ Μεθοδίου ὑποδειχθέντι ὑποψηφίῳ (τῷ ἱερῷ Γοράσδῳ) τὴν ἐκτέλεσιν τῶν ἐπιτροπικῶν καθηκόντων μέχρις οὗ ἐμφανισθῇ οὗτος αὐτοπροσώπως ἐν Ῥώμῃ καὶ δικαιολογήσῃ τὰ κατ' αὐτὸν διὰ ζώσης φωνῆς.

Πέμπτον ἐπαινεῖ τὴν ὀρθοδοξίαν, τὴν πολυμάθειαν καὶ τὴν πρὸς τὸν βασιλέα Σουατοπόλκον ἀφοσίωσιν τοῦ Βυρίγγου (ἐκείνου τοῦ ἀναιδεστάτου καὶ κακούργου ἀνθρώπου), ἀποκαλεῖ αὐτὸν σεβάσμιον ἐπίσκοπον καὶ προσφιλέστατον συνάδελφον (venerandum episcopum et carissimum confratrem!), καὶ ἐμπιστεύεται αὐτῷ τὴν κυβέρνησιν τῆς ἐκκλησίας τῆς Μοραβίας!

Ἕκτον Στέφανος ὁ ς' μέμνηται ἀκολούθως τοῦ ἱεροῦ Μεθοδίου, ὃν εἶχε γνωρίσει βεβαίως καὶ προσωπικῶς ἄλλοτε ἐν Ῥώμῃ, μέμνηται δ' αὐτοῦ πῶς; Ἀναφέρει ἁπλῶς τὸ ὄνομα αὐτοῦ, οὐδένα ἀποδιδοὺς αὐτῷ τίτλον, δι' οὐδενὸς αὐτὸ περικοσμῶν ἐπιθέτου· τοὐναντίον ἐκπλήσσεται ὅτι, καθὰ ἤκουσεν, ὁ Μεθόδιος ἐνέμενε διασπείρων τὴν δεισιδαιμονίαν καὶ τὴν

ἀμφιβολίας ὅτι καὶ τὰ περὶ νηστειῶν ἐν αὐτῇ λεγόμενα κεῖνται οὐχὶ ἀσκόπως. Ὁ πάπας συνίστησι τῷ ἄρχοντι τῆς Μοραβίας Σουατοπόλκῳ καὶ παντὶ τῷ λαῷ αὐτοῦ σὺν τῇ νηστείᾳ τῆς τετάρτης καὶ τῆς παρασκευῆς καὶ τὴν νηστείαν τοῦ σαββάτου· «ἔστι μὲν δή, λέγει, τὸ νηστεύειν παράγγελμα κυριακὸν καὶ ἀποστολικόν, ἀλλ' ἐν ποίαις ἡμέραις νηστευτέον καὶ ἐν ποίαις καταλυτέον οὔτε ὁ Κύριος οὔτε οἱ ἀπόστολοι αὐτοῦ ὥρισαν ἀκριβῶς. ἀλλὰ τὸ ἀρχαῖον τῶν πατέρων ἔθος ἐν τῇ ἐκκλησίᾳ κρατεῖ, ὡς καὶ ἐν ἄλλοις κρατοῦσι καὶ νόμου τόπον ἐπέχουσιν εὐλόγως αἱ ἀρχαῖαι διατάξεις καὶ τῶν προγόνων τὸ ἔθος. Νηστευτέον οὖν τὴν τετάρτην, ἐπειδὴ κατὰ τὴν ἡμέραν ταύτην συμβούλιον ἔλαβον οἱ Ἰουδαῖοι ἵνα τὸν Ἰησοῦν κρατήσωσι καὶ θανατώσωσιν· ἡ δὲ παρασκευὴ εἰκότως διὰ νηστείας ἄγεται διὰ τὴν πρὸς τὸ πάθος τοῦ Κυρίου εὐλάβειαν· ἀλλ' οὐδὲν ἧττον καὶ τὸ σάββατον νηστευτέον πρὸς ἀνάμνησιν τοῦ πένθους, ὃ κατὰ τὴν ἡμέραν ταύτην ἐν τῷ μνημείῳ ἀναπαυόμενον τὸν Κύριον ἀνθρωπίνως νοοῦντες ἐπένθησαν οἱ ἀπόστολοι» (Epistola Stephani pape ad Zvendopolcum regem παρὰ τῷ Γινζ. ἔνθ. ἀν. Anhang p. 66). Τὴν νηστείαν τοῦ σαββάτου ἄγνωστον οὖσαν ταῖς ἀνατολικαῖς ἐκκλησίαις οὐ παρεδώκαν τοῖς μαθηταῖς αὐτῶν οἱ μακάριοι ἀδελφοὶ Κύριλλος καὶ Μεθόδιος· καὶ διέφερον ἄρα καὶ ἐν τούτῳ τῶν δυτικῶν αἱ ὑπ' αὐτῶν ἱδρυθεῖσαι χριστιανικαὶ ἐκκλησίαι. καὶ ἀνάγκη ἄρα ἦν ἵνα καὶ τοῦτο νῦν σὺν τοῖς ἄλλοις διδαχθῶσιν αὗται.

διχόνοιαν, καθ'ὧν καὶ ἐκφράζει τὴν τελείαν ἀποδοκιμασίαν αὐτοῦ, εἰ τὰ λεγόμενα ἦσαν ἀληθῆ[1].

Τοιαύτην λοιπόν, ἀμφίβολον ὅλως καὶ ἀλλοπρόσαλλον καὶ ὕποπτον, ἵνα μή τι χεῖρον εἴπωμεν τό γε νῦν· ἐροῦσι γὰρ τοῦτο κατόπιν αὐτοὶ οἱ εὐλαβέστατοι τῆς Ῥώμης ποντίφικες) τοιαύτην ἐχάραξε τὴν μεγάλην μορφὴν τοῦ ἁγίου ἀποστόλου τῶν σλαύων ὁ προκάτοχος Λέοντος τοῦ ΙΓ', τοῦ τοσοῦτον θερμῶς σήμερον, μετὰ χίλια ἀκριβῶς ἔτη, τὴν ἁγιότητα αὐτοῦ συνιστῶντος εἰς τὸ σέβας καὶ εἰς τὴν τιμὴν τῶν ἁπανταχοῦ κατολίκων. Ἀληθῶς ποικίλον τι καὶ πολύμορφον καὶ δύσληπτον ἡ Ῥώμη. Ὁ Μεθόδιος οὐ μόνον δὲν ἐξηγιάσθη μετὰ θάνατον ὑπὸ τῆς Ῥώμης, ἀλλὰ καὶ ἐν τοῖς πλανωμένοις συγκατελέγη. Καὶ πῶς ἄλλως ἦν δυνατὸν ῥᾴδιον νὰ διασεισθῇ καὶ καταπέσῃ ἡ ἱερὰ οἰκοδομή, ἣν διὰ τοσούτων ἱδρώτων ἀνήγειραν ἐν Μοραβίᾳ καὶ ἀλλαχοῦ οἱ ἀοίδιμοι τῶν σλαύων ἀπόστολοι; Μὴ δίσταζε δέ, ἀναγνῶστα, μηδ' ἐρώτα τίνες καὶ ποῖαι ἦσαν αἱ δεισιδαιμονίαι, ἃς διέσπειρε μέχρι τελευταίας ἀναπνοῆς τὸ φωτόμορφον τέκνον τῆς Ἀνατολῆς· δεισιδαιμονίαι ἀποκαλοῦνται α] ἡ θεία τοῦ εὐαγγελίου διδασκαλία καὶ τῶν ἁγίων οἰκουμενικῶν συνόδων ἡ πίστις ὅτι τὸ Πνεῦμα τὸ ἅγιον παρὰ τοῦ πατρὸς ἐκπορεύεται, οὐ μὴν δὲ καὶ ἐκ τοῦ Υἱοῦ (Filioque), ὡς ἔχαιρον τερετίζοντες οἱ φράγκοι· β] ἡ χριστιανικωτάτη διδασκαλία ὅτι καὶ ἐν τῇ σλαυϊκῇ γλώσσῃ, ὥσπερ δὴ καὶ ἐν πάσῃ ἄλλῃ, ἔξεστι λατρεύειν τῷ Θεῷ, καὶ γ] ἡ τῆς ἁγίας καθολικῆς ἐκκλησίας πεποίθησις ὅτι ἡ διατύπωσις τῆς ἱερᾶς λατρείας τῶν κατὰ τὴν Ἀνατολὴν ἁγίων τοῦ Θεοῦ ἐκκλησιῶν οὐδαμῶς ἐστιν ἧττον ἱερὰ καὶ ἁγία τῆς κατὰ τὴν Δύσιν ἐκ τῶν ἀρχαίων χρόνων κατερχομένης. Εἰ δὲ βούλει μαθεῖν καὶ τὰ κατὰ τὸ πνεῦμα τῆς διχονοίας, ἧς προΐστατο ὁ ἱερὸς πατήρ, ὡς διεκήρυττον οἱ ἐχθροὶ τῆς

1. Methodium namque supersticioni non edificationi, contencioni non paci insistentem audientes, plurimum mirati sumus, et si ita est ut audivimus, supersticionem ejus penitus abdicamus. (Πρβλ. Μαρτίνωφ ἔνθ. ἀνωτ. σελ. 384—391).

ἀληθοῦς καὶ καθολικῆς πίστεως, ἔχεις καὶ τούτων τὴν ἐξήγησιν ἐν οἷς εἴπομεν ἐν τοῖς ἔμπροσθεν τὴν διαγωγὴν ἐκτιθέμενοι τοῦ ἀναιδεστάτου Βιχίγγου. Διχόνοια λοιπὸν καλεῖται ἡ πρὸς τὸ ψεῦδος, τὴν ἀναισχυντίαν καὶ τὴν κακοδοξίαν διάστασις, δεισιδαιμονία δὲ ἡ ὀρθοδοξία, περὶ ἧς τοσοῦτον ἐκήδοντο καὶ ἐμερίμνων οἱ μακάριοι ἀδελφοί, ὥστε ὁ ἱερὸς Μεθόδιος καὶ κατὰ τὴν τελευταίαν πνοὴν μεταξὺ τῶν ἄλλων προσόντων τοῦ ὑπ'αὐτοῦ ὑποδειχθέντος ὑποψηφίου διαδόχου αὐτοῦ συγκατηρίθμει καὶ τοῦτο, ὅτι οὗτος ἦν ὀρθόδοξος, ἔχων τὴν ἐπίγνωσιν τῶν πρώτων καὶ ὑψίστων ἀρχῶν τοῦ χριστιανισμοῦ, τῆς τε κατὰ Χριστὸν ἁγίας ἐλευθερίας, καὶ τῆς ἀπολύτου εἰς τὴν ἀποκεκαλυμμένην πίστιν ὑπακοῆς· τῶν ἀρχῶν, καθ'ἃς οὐδεμία διδασκαλία δύναται νὰ ἀναχθῇ εἰς δόγμα πίστεως τῆς καθολικῆς ἐκκλησίας καὶ τροποποιήσῃ οὕτως ἢ ἄλλως τὴν διατετυπωμένην πάγκοινον αὐτῆς ὁμολογίαν, ἂν μὴ πρῶτον ἀποδειχθῇ οὖσα διδασκαλία τῆς ἀποκεκαλυμμένης θρησκείας τοῦ Ἰησοῦ Χριστοῦ, ζῶσα ὡς τοιαύτη ἐν τῇ θρησκευτικῇ συνειδήσει τῆς καθόλου ἐκκλησίας, καὶ δεύτερον ἂν μὴ ἐγκριθῇ ὑπὸ συμπάσης συλλήβδην τῆς τοῦ Χριστοῦ ἐκκλησίας δι'ἁγίας οἰκουμενικῆς συνόδου· τῶν ἀρχῶν, καθ'ἃς οὐδὲν καθαρῶς φυσικὸν καὶ ἀνθρώπινον, ἥκιστα ἄρα τὰς διαφόρους γλώσσας τῶν ἐπὶ γῆς λαῶν δύναται νὰ ἀποτροπιάζηται ὁ χριστιανός, ἔχων ἱερωτάτην μάλιστα ἀποστολὴν νὰ ἐγκολπωθῇ καὶ ἁγιάσῃ ἐν Χριστῷ Ἰησοῦ πᾶν ὅ,τι τοιοῦτόν ἐστι· τῶν ἀρχῶν τέλος, καθ'ἃς ὅσην ἐλευθερίαν εἶχον οἱ κατὰ τὴν Δύσιν εἰς τὴν μόρφωσιν τῶν κατὰ τὴν θείαν λατρείαν κατὰ τὸ μέτρον τῆς χάριτος τοῦ Θεοῦ καὶ τῆς ἐθνικῆς αὐτῶν ἰδιοφυΐας, τοσαύτην εἶχον καὶ οἱ κατὰ τὴν Ἀνατολήν. Οἱ δύο ἄμεσοι προκάτοχοι Στεφάνου τοῦ ς', εἴτε ὡς μὴ δυνηθέντες ἀντιστῆναι πρὸς τὰς ἀρχὰς ταύτας εἴτε καὶ δι'ἄλλους λόγους, ὑπέκυψαν ὅπως δήποτε ἐπὶ τέλους καὶ ὑπεχώρησαν ἀπέναντι τῶν μεγάλων διδασκάλων τῆς Ἀνατολῆς· ἀλλ'ὅτε οὗτοι δὲν ὑπῆρχον πλέον ἐν τοῖς ζῶσιν ὁ μακαριώτατος πάπας Στέφανος ὁ ς', ἐπιστέλλων πρὸς τοὺς σλαύους τῆς Μοραβίας ὅσα ἀνωτέρω εἴδομεν ἐκ τῶν περι-

σωθέντων αὐτοῦ γραμμάτων συνοψισθέντα, ἠδύνατο ἀναθεματίζειν ἀνερυθριάστως τοὺς τὰς χριστιανικὰς ταύτας ἀρχὰς ὁσίως κρατοῦντας, προϋπογράφειν δὲ ἀκολύτως τὸν ἐκπατρισμὸν καὶ τὴν ὑπερορίαν διακοσίων λειτουργῶν τῆς ἐκκλησίας διότι καὶ οὗτοι, καθάπερ ἄλλοτε οἱ διδάσκαλοι αὐτῶν, θαρροῦντες ἐπὶ τὴν μαρτυρίαν τῆς ἑαυτῶν συνειδήσεως, παρέμειναν πιστοὶ τῇ ἀληθείᾳ τῆς μιᾶς, ἁγίας, καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, καὶ οὔτε τὸ φραγκικὸν φιλιόκβε ἔστερξαν οὔτε τοῦ τύπου τῆς ἀρχῆθεν αὐτοῖς παραδοθείσης θείας λατρείας καὶ τῆς ἐν αὐτῇ χρήσεως τῆς γλώσσης αὐτῶν ἀποστῆναι ἠβουλήθησαν.

Ἡ Μοραβία, ἥτις μετὰ τοῦ ἱεροῦ Μεθοδίου ἀπώλεσεν ἤδη, χάρις τῇ ὑψηλῇ προνοίᾳ ἣν ἔλαβε περὶ αὐτῆς Στέφανος ὁ ς', ὁ σεβάσμιος προκάτοχος Λέοντος τοῦ ΙΓ', καὶ τὴν λογιωτέραν μερίδα τοῦ ἱεροῦ αὐτῆς κλήρου καὶ τὴν καλὴν παρακαταθήκην τῶν ἁγίων αὐτῆς διδασκάλων, διέμεινε μέχρι τοῦ ἔτους 900 ἄνευ ποιμένος· διότι καὶ μεθ' ὅλην τὴν εὔνοιαν καὶ ὑποστήριξιν τῆς Ῥώμης οἱ ἀγῶνες τοῦ Βιχίγγου ὅπως ἀνέλθῃ εἰς τὸν ἀρχιεπισκοπικὸν αὐτῆς θρόνον ἐματαιώθησαν ἀπέναντι τῆς σφοδρᾶς πρὸς αὐτὸν ἀποστροφῆς τοῦ λαοῦ. Ἐντεῦθεν δὲ περιέστη ἡ ἐκκλησία ἐκείνη εἰς μεγίστην ἀθλιότητα, ἣν ἐπὶ μᾶλλον ἐπέτεινον καὶ οἱ ἐν τῷ μεταξὺ ἐπελθόντες πόλεμοι καὶ αἱ συνεχεῖς καταστροφαὶ τῆς χώρας. Ὁ υἱὸς καὶ διάδοχος τοῦ Σουατοπόλκου († 894) Μοϋμίρος μόλις ἀπαλλαγεὶς τῶν κατὰ τοῦ βασιλείου αὐτοῦ ἐπιδρομῶν τῶν γερμανῶν ἡγεμόνων, ἀπεῖδεν εὐθὺς εἰς τὴν θεραπείαν τῆς οἰκτρᾶς ταύτης καταστάσεως, εἰς τὴν αὐτὴν δὲ θέσιν ἐν ᾗ καὶ ὁ θεῖος αὐτοῦ Ῥατισλαῦος εὑρισκόμενος ἐξῃτήσατο τὴν προστασίαν Ἰωάννου τοῦ Θ' (898—900). Οἱ ἀπεσταλμένοι τοῦ πάπα τούτου, εἷς ἀρχιεπίσκοπος καὶ δύο ἐπίσκοποι, παραγενόμενοι εἰς Μοραβίαν, κατ' ἄλλους μὲν χειροτονήσαντες καὶ ἕτερον ἐπίσκοπον διενείμαντο ἑαυτοῖς τὴν ἐκκλησίαν τῆς χώρας ὑπὸ τὴν ἀρχηγίαν τοῦ πρώτου αὐτῶν, κατ' ἄλλους δὲ ἐξελέξαντο ἑτέρους τέσσαρας, ἕνα μητροπολίτην καὶ τρεῖς ἐπισκόπους, οὓς καὶ κατέστησαν

